# Ο ΠΑΤΡΙΑΡΧΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΙΩΑΝΝΗΣ Θ΄ Ο ΑΓΑΠΗΤΟΣ

Ὁ Ἰωάννης Θ΄, ὁ Ἀγαπητός, ὁ τοῦ Χαλκηδόνος, οὗ τὴν μνήμην γεραίρει ἡ ἡμετέρα ἐκκλησία τῇ 18 Ἰουλίου, διετέλεσε πατριάρχης Κωνσταντινουπόλεως ἀπὸ τοῦ 1111—1134. Περὶ τοῦ βίου καὶ τῶν ἔργων αὐτοῦ ἐλάχιστα γνωρίζομεν, τὰ δὲ πλεῖστα τῶν ἔργων αὐτοῦ ἔχουσι μείνει ἀνέκδοτα[1]. Μεταξὺ τῶν ἀνεκδότων ἔργων αὐτοῦ ἄξιαι ἰδίας προσοχῆς εἶναι αἱ ὁμιλίαι αὐτοῦ εἰς τὰ Εὐαγγέλια τῶν Κυριακῶν τοῦ ὅλου ἐνιαυτοῦ καί τινων ἑορτῶν. Αἱ ὁμιλίαι αὗται, ἐκτὸς ἄλλων κωδίκων[2], εὕρηνται καὶ ἐν τρισὶ κώδιξι τῆς ἐθνικῆς ἡμῶν βιβλιοθήκης, τοῖς ὑπ' ἀριθμὸν 256, 261 καὶ 300[3]. Τῶν χειρογράφων τούτων τὸ τελευταῖον, τὸ ὑπ' ἀριθμὸν 300, ἀποτελούμενον ἐκ φύλλων 358 (1—358), ἠριθμημένων ὑπὸ μεταγενεστέρας χειρὸς[4] διὰ μολυβδίδος ἐν τῇ κάτω ᾤᾳ φέρει ἐπιγραφὴν «Τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως κυροῦ Ἰωάννου τοῦ Χαλκιδὼν ὁμιλίαι ἑκάστης Κυριακῆς τοῦ ὅλου χρόνου λεγόμεναι παρ' αὐτοῦ καὶ ἀποστομιζόμεναι πρὸς τὸν θεοφιλῆ συναθροιζόμενον λαόν, ἃς

---

[1] Πρβλ. Κρουμβάχερ-Σωτηριάδου, «Ἱστορία τῆς Βυζαντινῆς λογοτεχνίας», τόμ. Α' σ. 226. Ζ. Μαθᾶ, «Κατάλογος ἱστορικὸς τῶν πρώτων ἐπισκόπων καὶ τῶν ἐφεξῆς Πατριαρχῶν τῆς ἐν Κωνσταντινουπόλει ἁγίας καὶ μεγάλης τοῦ Χριστοῦ ἐκκλησίας», σ. 73. Μανουὴλ Γεδεών, «Πατριαρχικοὶ πίνακες», σ. 348—349. Ἰωάν. Σακελλίωνος, ἐν «Εὐαγγελικῷ κήρυκι» τόμ. Ζ'. σ. 318—321.

[2] Ἐκτὸς τοῦ ὑπὸ τοῦ Κρουμβάχερ ἀναφερομένου χειρογράφου (ἔνθ. ἀν.) πρβλ. τὰ ὑπ' ἀριθμὸν 937. 1166. 1346. 2507. 2516. 3195 καὶ 4698 χειρόγραφα ἐν τῷ καταλόγῳ τῶν κωδίκων τοῦ ἁγίου Ὄρους τοῦ Σπ. Λάμπρου, τὸ ὑπ' ἀριθμὸν 599 ἐν τῷ καταλόγῳ τῶν ἑλληνικῶν χειρογράφων τοῦ Const. Litzica, τὸ ὑπ' ἀριθμὸν 31 τῆς ἐν Χάλκῃ μονῆς τῆς Παναγίας ἐν Ἐπετ. τῆς Ἑταιρ. τῶν Βυζαντινῶν Σπουδῶν τόμ. 10, σ. 270, τὸ ὑπ' ἀριθμὸν 33 τῆς μονῆς τῆς ἁγίας Τριάδος τῶν Μετεώρων ἐν Νέῳ Ἑλληνομνήμονι τόμ. ΚΑ' σ. 318, τὸ ὑπ' ἀριθμὸν ΧΞΖ τῆς ἐν Πάτμῳ μονῆς τοῦ Ἰωάννου τοῦ Θεολόγου ἐν τῷ καταλόγῳ τοῦ Ἰωάννου Σακελλίωνος, σ. 262 καὶ ἄλλα.

[3] Πρβλ. Ἰωάννου Σακελλίωνος. «Κατάλογος τῶν χειρογράφων τῆς ἐθνικῆς βιβλιοθήκης τῆς Ἑλλάδος» σ. 46. 47 καὶ 51.

[4] Ἡ ἀρχικὴ ἀρίθμησις ἐν τῇ κάτω ᾤᾳ κατὰ ὀκτάδια (α'—μστ').

Institutional Repository - Library & Information Centre - University of Thessaly
15/06/2024 16:37:25 EEST - 3.15.211.219

ἐκλεξάμενος συνέθετο ἀπὸ διαφόρων Πατέρων ἁγίων, ἐξηγητῶν καὶ ἑτέρων ἀνδρῶν».

Αἱ ὁμιλίαι αὗται, 58 τὸν ἀριθμόν, καταλαμβάνουσι τὰ ὑπ' ἀριθμὸν 1α—329β φύλλα τοῦ χειρογράφου, μεθ' ἃ ἕπεται «Ἑρμηνεία τοῦ κυροῦ Θεοφυλάκτου Βουλγαρίας. Ἐξήγησις εἰς τὰ ἕνδεκα ἑωθινὰ Εὐαγγέλια» (φύλ. 330α—357β). Ἐν τέλει, ἐν φύλλῳ 357β ἔχει σημειώσει ὁ ἀντιγραφεύς· «Ἐτελειώθη τὸ παρὸν βιβλίον, ἤτοι τὸ Κυριακοδρόμιον, παρ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ τῆς προσηγορίας ἀναξίου καὶ κατὰ συγχωρήσεως Θεοῦ ἱερομονάχου Καλλίστου ἐν τῇ σεβασμίᾳ μονῇ τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τῇ ἐν τῷ θέματι κειμένῃ τῶν μεγάλων Πυλῶν ἐν τῷ ,ζπδ΄ ἰνδ. Δ΄. καὶ οἱ ἀναγινώσκοντες καὶ τὰ ἐν αὐτῷ ἐσφαλμένα γνωρίζοντες διορθώσατε. Ἐν μηνὶ Ἰουνίῳ, ἡμέρᾳ Τρίτῃ».

Τὸ δεύτερον τῶν χειρογράφων τούτων, τὸ ὑπ' ἀριθμὸν 261, φέρει ἐπιγραφὴν «Τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως νέας Ρώμης καὶ οἰκουμενικοῦ πατριάρχου τοῦ Χαλκιδῶν ὁμιλίαι ἑκάστης Κυριακῆς τοῦ ὅλου χρόνου καὶ ἐπὶ δεσποτικαῖς, καὶ ἑτέραις ἑορταῖς ἐπισήμοις λεγόμεναι παρ' αὐτοῦ καὶ ἀποστομιζόμεναι πρὸς τὸν θεοφιλῆ συναθροιζόμενον λαόν, ἃς ἐκλεξάμενος συνέθετο ἀπὸ διαφόρων ἁγίων Πατέρων, ἐξηγητῶν καὶ ἑτέρων σοφῶν ἀνδρῶν».

Καὶ τὸ χειρόγραφον τοῦτο περιέχει τὰς ὁμιλίας τοῦ Πατριάρχου Κωνσταντινουπόλεως Ἰωάννου, ὡς καὶ τὰς ἕνδεκα ὁμιλίας τοῦ Θεοφυλάκτου Βουλγαρίας εἰς τὰ ἑωθινὰ Εὐαγγέλια κατὰ τὴν αὐτὴν σειράν.

Τὸ τρίτον τῶν χειρογράφων τούτων, τὸ ὑπ' ἀριθμὸν 256, ἄρχεται: «Τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως νέας Ῥώμης κυροῦ Ἰωάννου τοῦ Χαλκιδῶν ὁμιλία εἰς τὸν τελώνην καὶ φαρισαῖον. Εὐλόγησον πάτερ» καὶ περιέχει τὰς ὁμιλίας Ἰωάννου Θ΄ κατὰ τὴν αὐτὴν σειρὰν καὶ ἐν τέλει τὸν λόγον τοῦ Ἐφραὶμ τοῦ Σύρου εἰς τὸν πάγκαλον Ἰωσήφ. Ἐν τέλει τοῦ χειρογράφου ἔχει σημειώσει ὁ ἀντιγραφεὺς «Ἐν τῷ ,ζπε΄ ἐγράφει τῷ παρὸν βιβλίον ἐν τῇ βασιλικωτάτῃ καὶ μεγάλῃ μονῇ τοῦ Σωτῆρος Χριστοῦ, ἤτοι τὸ ἐπίκλην ἁγίῳ Μετεώρῳ. Ἐγράφη δὲ διὰ χειρὸς καὶ εὐτελοῦς τάχα δὲ ἐν ἱερομονάχοις ταπεινὸς Χριστόδουλος».

Κατωτέρω ἐκδίδω ἐκ τοῦ κώδικος 300 τῆς ἐθνικῆς ἡμῶν βιβλιοθήκης πίνακα τῶν ἐν αὐτῷ περιεχομένων ὁμιλιῶν τοῦ Ἀγαπητοῦ καὶ τὴν πρώτην αὐτοῦ ὁμιλίαν, τὴν εἰς τὸν τελώνην καὶ φαρισαῖον, ἐξ ἧς δύναταί τις νὰ λάβῃ ἰδέαν τινὰ περὶ τῶν ὁμιλιῶν τοῦ Ἀγαπητοῦ καὶ τῆς ἀξίας αὐτῶν.

Ἄξιον σημειώσεως εἶναι ἐνταῦθα ὅτι τὸ κείμενον τῆς ὁμιλίας ταύτης τοῦ Ἀγαπητοῦ, ὡς καὶ τῶν λοιπῶν αὐτοῦ ὁμιλιῶν ἐν τοῖς ἀνωτέρω τρισὶ κώδιξιν ἐλαχίστας ἔχει διαφοράς, ἀναξίας λόγου.

Ἐν τέλει φρονῶ ὅτι εὐχῆς ἔργον θὰ ἦτο ἐὰν αἱ ἀνέκδοτοι αὗται ὁμι-

Institutional Repository - Library & Information Centre - University of Thessaly
15/06/2024 16:37:25 EEST - 3.15.211.219

λίαι τοῦ Ἀγαπητοῦ ἐξεδίδοντο πᾶσαι, διότι διὰ τῆς ἐκδόσεως τούτων ἀναμφιβόλως θὰ ἐπλουτίζετο ἡ ἐκκλησιαστικὴ ἡμῶν φιλολογία καὶ θὰ ἀπεδίδετο ἡ προσήκουσα τιμὴ εἰς προσωπικότητα δυστυχῶς μέχρι τοῦδε παροραθεῖσαν.

1 (φ. 1α—7α). «Ὁμιλία τῇ Κυριακῇ τοῦ τελώνου καὶ Φαρισαίου. Εὐλόγησον, πάτερ».

Ἀρχ. Ἡ εἰς τὸν τελώνην καὶ φαρισαῖον παραβολὴ καὶ ὑπόθεσις, ὥσπερ γυμνασία τις καὶ παραίνεσις ἐπενοήθη τοῖς ἁγίοις Πατράσιν.

2 (φ. 7α—14β). «Ὁμιλία τῇ Κυριακῇ τοῦ ἀσώτου. Εὐλόγησον, πάτερ».

Ἀρχ. Ἀγαθὸς μὲν ὁ Θεὸς πρὸς πάντας ἐστὶ καὶ φιλάνθρωπος καὶ μακρόθυμος.

3 (φ. 15α—21α). «Ὁμιλία ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη τῇ Κυριακῇ τῆς Ἀπόκρεω. Εὐλόγησον, πάτερ».

Ἀρχ. Φοβερὰ ἡ ἡμέρα ἐκείνη τῆς δευτέρας τοῦ Χριστοῦ παρουσίας καὶ τῆς μελλούσης κρίσεως, ἀδελφοί μου.

4 (φ. 21α—28β) «Ὁμιλία τῇ Κυριακῇ τῆς Τυροφάγου. Εὐλόγησον, πάτερ».

Ἀρχ. Ἰδοὺ τὸ τῆς τεσσαρακοστῆς στάδιον ὑπανοίγεται σήμερον ἡμῖν, ἀδελφοί μου.

5 (φ. 28β—39α). «Ὁμιλία τῇ πρώτῃ Κυριακῇ τῶν ἁγίων νηστειῶν. Εὐλόγησον, πάτερ».

Ἀρχ. Ἡ ἁγία τεσσαρακονθήμερος αὕτη νηστεία, ἀγαπητοί, ὡς κλῖμάξ τις πρόκειται ἡμῖν.

6 (φ. 39α—45α). «Ὁμιλία ἐκ τοῦ κατὰ Μᾶρκον ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ δευτέρᾳ τῶν ἁγίων νηστειῶν. Εὐλόγησον, πάτερ».

Ἀρχ. Ὁ τῆς ἁγίας τεσσαρακοστῆς καιρός, ἀδελφοί μου, πρὸς τὸν ὅλον καιρὸν τοῦ ἐνιαυτοῦ συγκρινόμενος.

7 (φ. 45β—53α). «Ὁμιλία ἐκ τοῦ κατὰ Μᾶρκον ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ τρίτῃ τῶν ἁγίων νηστειῶν. Εὐλόγησον, πάτερ».

Ἀρχ. Πρωτυπῶν καὶ προδιαγράφων ὁ μακάριος Μωϋσῆς τὸν ζωοποιὸν καὶ θεῖον σταυρὸν ῥάβδῳ τὴν ἐρυθρὰν διέτεμε θάλασσαν.

8 (φ. 53α—59β). «Ὁμιλία ἐκ τοῦ κατὰ Μᾶρκον ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ τετάρτῃ τῶν ἁγίων νηστειῶν. Εὐλόγησον, πάτερ».

Ἀρχ. Μεσάσαντες τὸ πέλαγος, ἀδελφοί, τῆς ἐγκρατείας.

9 (φ. 59β—65β). «Ὁμιλία ἐκ τοῦ κατὰ Μᾶρκον ἁγίου Εὐαγγελίου

Institutional Repository - Library & Information Centre - University of Thessaly
15/06/2024 16:37:25 EEST - 3.15.211.219

ἀναγινωσκομένη Κυριακῇ πέμπτῃ τῶν ἁγίων νηστειῶν. Εὐλόγησον, πάτερ».

Ἀρχ. Παρῆλθεν μὲν ὁ χειμών, τὸ δὲ ἔαρ εἰσῆλθε καὶ βλέπομεν τὴν κτίσιν ἀναθάλλουσαν.

10. (φ. 66α—70α) «Ὁμιλία ἀναγινωσκομένη τῷ Σαββάτῳ τοῦ δικαίου Λαζάρου. Εὐλόγησον, πάτερ».

Ἀρχ. Τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τὰς κατὰ γῆν διατριβὰς ποιουμένου ἐπὶ σωτηρίᾳ τοῦ γένους ἡμῶν.

11. (φ. 71α—74α). «Ὁμιλία ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ τῶν Βαΐων. Εὐλόγησον, πάτερ».

Ἀρχ. Πρὸ ἓξ ἡμερῶν τοῦ Πάσχα ἦλθεν ὁ Ἰησοῦς εἰς Βηθανίαν, ὅπου ἦν Λάζαρος.

12 (φ. 74β—78α). «Τῇ ἁγίᾳ καὶ μεγάλῃ Κυριακῇ τοῦ Πάσχα ἐκ τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου. Εὐλόγησον, πάτερ».

Ἀρχ. Πάσχα ἱερὸν καὶ τίμιον ἐπέλαμψεν, ὦ ἀδελφοί, σήμερον.

13. (φ. 78β—82α). «Ὁμιλία λεχθεῖσα τῇ ἁγίᾳ καὶ μεγάλῃ Κυριακῇ τοῦ Πάσχα. Εὐλόγησον, πάτερ»

Ἀρχ. Χαρᾶς ἡμέρα καὶ εὐφροσύνης, ἀγαπητοί, ἡμέρα ἀγαλλιάσεως καὶ σωτηρίας.

14. (φ. 82α—85α). «Ὁμιλία ἀναγινωσκομένη τῇ δευτέρᾳ τῆς διακαινησίμου. Εὐλόγησον, πάτερ».

Ἀρχ. Τὸ ῥάθυμον ἡμῶν διεγείρων ὁ ἱερὸς καὶ θεῖος ἀπόστολος λέγει.

15. (φ. 85α—91β). «Ὁμιλία ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ τοῦ Θωμᾶ. Εὐλόγησον, πάτερ».

Ἀρχ. Ἐπὶ τῇ λαμπροφόρῳ Κυριακῇ καὶ σεβασμίᾳ καὶ ἁγίᾳ ἡμέρᾳ τῆς Ἀναστάσεως.

16 (φ. 92α—97α). «Ὁμιλία ἐκ τοῦ κατὰ Μᾶρκον ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ τῶν Μυροφόρων. Εὐλόγησον, πάτερ».

Ἀρχ. Καὶ ἡ παροῦσα Κυριακὴ καὶ ἁγία ἡμέρα προσκυνητή ἐστι καὶ σεβασμία

17 (φ. 97α—103β). «Ὁμιλία ἐκ κατὰ Ἰωάννην ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ τοῦ Παραλύτου. Εὐλόγησον, πάτερ»

Ἀρχ. Πολλῶν καὶ μεγάλων κακῶν ἡ ἁμαρτία πρόξενος γίνεται καὶ τὴν ψυχὴν λυμαίνεται σφόδρα.

18 (φ. 103β—112α). «Ὁμιλία ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ τῆς Σαμαρείτιδος. Εὐλόγησον, πάτερ».

Ἀρχ. Καὶ σήμερον ἡμῖν· ἡ τῶν Εὐαγγελικῶν φρεάτων ἀναβλύζει πηγὴ καὶ τὰ νάματα πλούσια.

19. (φ. 112β—118β). «Ὁμιλία ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ τοῦ Τυφλοῦ. Εὐλόγησον, πάτερ».

Institutional Repository - Library & Information Centre - University of Thessaly
15/06/2024 16:37:25 EEST - 3.15.211.219

Ἄρχ. Τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ διαλεγομένου τοῖς Ἰουδαίοις

20. (φ. 118β—123β). «Ὁμιλία ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ τῶν ἁγίων τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων Πατέρων. Εὐλόγησον, πάτερ».

Ἄρχ. Μετὰ τὴν ἑορτὴν τῆς ἐνδόξου ἀναλήψεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

21. (φ. 124α—132α). «Ὁμιλία ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ τῆς ἁγίας Πεντηκοστῆς. Εὐλόγησον, πάτερ».

Ἄρχ. Τῇ ἐσχάτῃ ἡμέρᾳ, τῇ μεγάλῃ τῆς ἑορτῆς, εἱστήκει ὁ Ἰησοῦς καὶ ἔκραξε.

22. (φ. 132β—137β). «Ὁμιλία ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ τῶν ἁγίων Πάντων. Εὐλόγησον, πάτερ».

Ἄρχ. Εἶπεν ὁ Κύριος, πᾶς ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς.

23 (φ. 138α—142β). «Ὁμιλία ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ δευτέρᾳ. Εὐλόγησον, πάτερ».

Ἄρχ. Ἐπειδὴ τῆς θείας καὶ πρώτης καὶ μακαρίας ζωῆς ἀπορραγέντες διὰ τὴν παράβασιν τοῦ προπάτορος.

24. (φ. 143α—148α). «Ὁμιλία ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ τρίτῃ. Εὐλόγησον, πάτερ».

Ἄρχ. Τῆς φιλαργυρίας οὐδέν ἐστι χαλεπώτερον καὶ τῆς φιλοχρηματίας οὐδὲν ὑπάρχει δεινότερον.

25. (φ. 148α—154β). «Ὁμιλία ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ τετάρτῃ. Εὐλόγησον, πάτερ».

Ἄρχ. Οὐδέν ἐστι τῆς ἀδιστάκτου καὶ καθαρᾶς πίστεως ἰσχυρότερον, οὐδὲ τῆς πρὸς τὸν Θεὸν ἐλπίδος καὶ πεποιθήσεως κραταιότερον.

26. (φ. 154β—160β). «Ὁμιλία ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ πέμπτῃ. Εὐλόγησον, πάτερ».

Ἄρχ. Πηγὴ πνευματικὴ καὶ σωτήριος περικλύζει ἡμᾶς ἀδελφοί.

27. (φ. 160β—167β). «Ὁμιλία ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ ἕκτῃ. Εὐλόγησον, πάτερ».

Ἄρχ. Οἱ τῶν μελισσῶν τὸ φιλόπονον καὶ φίλεργον θεοφιλῶς ἐκμιμούμενοι, ὥσπερ ἐκεῖναι τοῖς λειμῶσιν ἐφιπτάμεναι.

28. (φ. 168α—172β). «Ὁμιλία ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ ἑβδόμῃ. Εὐλόγησον, πάτερ».

Ἄρχ. Τῷ καιρῷ ἐκείνῳ παράγοντι τῷ Ἰησοῦ ἠκολούθησαν αὐτῷ δύο τυφλοὶ κράζοντες.

Institutional Repository - Library & Information Centre - University of Thessaly
15/06/2024 16:37:25 EEST - 3.15.211.219

29. (φ. 172β—176β). «Ὁμιλία ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ ὀγδόῃ. Εὐλόγησον, πάτερ».

Ἀρχ. Ὁ τῆς ἡμετέρας σωτηρίας φροντίζων καὶ κηδόμενος Κύριος.

30. (φ. 177α—183α). «Ὁμιλία ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ ἐνάτῃ. Εὐλόγησον, πάτερ».

Ἀρχ. Καὶ οἱ τοὺς ἑαυτῶν φίλους σωματικῶς διατρέφειν βουλόμενοι καὶ αἰσθητὴν αὐτοῖς παρατιθέμενοι τράπεζαν.

31. (φ. 183β—189α). «Ὁμιλία ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγλίου ἀναγινωσκομένη Κυριακῇ δεκάτῃ. Εὐλόγησον, πάτερ».

Ἀρχ. Ὑπὲρ τῆς ἡμῶν ψυχικῆς σωτηρίας ὀφείλοντες σπουδάζειν, ἀγαπητοί.

32. (φ. 189α—194α). «Ὁμιλία ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγλελίου ἀναγινωσκομένη Κυριακῇ ἑνδεκάτῃ. Εὐλόγησον, πάτερ».

Ἀρχ. Ποτὲ μὲν φανερῶς διαλέγεται ἐν τοῖς Εὐαγγελίοις ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ποτὲ δὲ διὰ παραδειγμάτων.

33. (φ. 194β—199α). «Ὁμιλία ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ δεκάτῃ δευτέρᾳ. Εὐλόγησον, πάτερ».

Ἀρχ. Οὐδὲν οὕτως οἶδεν θολοῦν καὶ σκοτίζειν τὴν ἀνθρωπίνην διάνοιαν.

34. (φ 199β—203α). «Ὁμιλία ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ δεκάτῃ τρίτῃ. Εὐλόγησον, πάτερ».

Ἀρχ. Τὴν ἐκ τῆς διδασκαλίας ὠφέλειαν τοῖς ἀνθρώποις περιποιούμενος ὁ Κύριος ἡμῶν καὶ Θεός.

35. (φ. 203β—207α). «Ὁμιλία ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ δεκάτῃ τετάρτῃ. Εὐλόγησον, πάτερ».

Ἀρχ. Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ.

36. (φ. 207α—211α). «Ὁμιλία ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ δεκάτῃ πέμπτῃ. Εὐλόγησον, πάτερ».

Ἀρχ. Οἱ τοὺς ἀγροὺς τῶν ἀνθρώπων φυλλάσσοντες γεωργοί, ὅσα ἐν αὐτοῖς ἔχουσι τῶν ἀνθέων ὡραῖα καὶ εὐώδη.

37 (φ. 211—215β) «Ὁμιλία ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ δεκάτῃ ἕκτῃ. Εὐλόγησον, πάτερ».

Ἀρχ. Τὴν ἐκ τῆς διδασκαλίας ὠφέλειαν τοῖς ἀνθρώποις περιποιούμενος ὁ Κύριος.

38. (φ. 215β—221α). «Ὁμιλία ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ δεκάτῃ ἑβδόμῃ. Εὐλόγησον, πάτερ».

Ἀρχ. Μέγα ἀγαθὸν εὐχή, ἐὰν μετὰ διανοίας εὐχαρίστου γίνεται.

39. (φ. 222α—226β). «Ὁμιλία ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ πρώτῃ. Εὐλόγησον, πάτερ».

Institutional Repository - Library & Information Centre - University of Thessaly
15/06/2024 16:37:25 EEST - 3.15.211.219

Ἄρχ. Τῷ καιρῷ ἐκείνῳ ἑστὼς ὁ Ἰησοῦς παρὰ τὴν λίμνην Γεννησαρὲτ εἶδε δύο πλοῖα ἑστῶτα παρὰ τὴν λίμνην.

40 (φ. 226β—232α). «Ὁμιλία ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ δευτέρᾳ. Εὐλόγησον, πάτερ»

Ἀρχ. Πασῶν τῶν ἀρετῶν ἀνωτέρα ἐστὶν ἡ ἀγάπη καὶ ὑψηλοτέρα.

41. (φ. 232α—235β). «Ὁμιλία ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ τρίτῃ. Εὐλόγησον, πάτερ».

Ἀρχ. Τὸ τῆς ἀναστάσεως μέγα μυστήριον, ἀδελφοί μου, οὐ τοσοῦτον διὰ λόγων.

42. (φ. 236α—243α). «Ὁμιλία ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ τετάρτῃ. Εὐλόγησον, πάτερ».

Ἀρχ. Ὥσπερ παράδεισος ἄλλος ἐστὶ πολυανθὴς καὶ εὐώδης ἡ τῶν θείων λογίων ἀνάγνωσις.

43. (φ. 243α—250β). «Ὁμιλία ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ πέμπτῃ. Εὐλόγησον, πάτερ».

Ἀρχ. Ἀγαθὰ μὲν πάντα τὰ θεῖα λόγια καὶ ἐπωφελῆ τοῖς προσέχουσι.

44. (φ. 250β—254β). «Ὁμιλία ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ ἕκτῃ. Εὐλόγησον, πάτερ».

Ἀρχ. Ὥσπερ τὰ σώματα ἡμῶν αἱ χρονικαὶ τῆς γῆς καρποφορίαι καὶ αἱ κατάλληλοι καὶ διάφοροι τροφαὶ στηρίζουσι.

45. (φ. 255α—259α). «Ὁμιλία ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ ἑβδόμῃ. Εὐλόγησον, πάτερ».

Ἀρχ. Καὶ μεγάλη πολλάκις ἀνάγκη καὶ σφοδροτάτη θλῖψις οἰκονομεῖν οἶδε καὶ προτρέπειν τοὺς ἀνθρώπους πρὸς πίστιν.

46. (φ. 259β—265α). «Ὁμιλία ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ ὀγδόῃ. Εὐλόγησον, πάτερ».

Ἀρχ. Μέγα πρὸς ἀρετὴν ἐμπόδιον ἡ ὑπερηφάνεια καὶ ἡ ἔπαρσις.

47. (φ. 265β—271α). «Ὁμιλία ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ ἐνάτῃ. Εὐλόγησον, πάτερ».

Ἀρχ. Ἡ πλεονεξία μέγα τοῖς ἀνθρώποις κακὸν καὶ οὐδὲν αὐτῆς ὑπάρχει δεινότερον.

48. (φ. 271β—277α). «Ὁμιλία ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ δεκάτῃ. Εὐλόγησον, πάτερ».

Ἀρχ. Ὁ Κύριος ἡμῶν καὶ Θεὸς διεξάγων τὸν Ἰουδαϊκὸν λαὸν καὶ παντοιοτρόπως παιδεύων.

49. (φ. 277α—283α). «Ὁμιλία ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐγγελίου ἀναγινωσκομένη Κυριακῇ ἑνδεκάτῃ. Εὐλόγησον, πάτερ».

Ἀρχ. Ὁ μακάριος καὶ εὐαγγελιστὴς Λουκᾶς προτίθησιν ἡμῖν σήμερον διὰ παραβολῆς.

Institutional Repository - Library & Information Centre - University of Thessaly
15/06/2024 16:37:25 EEST - 3.15.211.219

50 (φ. 283α—288β). «Ὁμιλία ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ δωδεκάτῃ Εὐλόγησον, πάτερ».

Ἀρχ. Πολλοὺς καὶ διαφόρους τρόπους ἔδωκεν ἡμῖν ὁ Θεὸς εἰς τὸ κατεργάζεσθαι τὴν σωτηρίαν ἡμῶν.

51. (φ. 288β—294α). «Ὁμιλία ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ δεκάτῃ τρίτῃ Εὐλόγησον, πάτερ».

Ἀρχ. Ὥσπερ ἐξ ἀδηφαγίας μὲν γίνεται φλεγμονή, ἐκ δὲ φλεγμονῆς τίκτεται πυρετός.

52 (φ. 294α—299α). «Ὁμιλία ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ δεκάτῃ τετάρτῃ. Εὐλόγησον, πάτερ».

Ἀρχ. Ἥλιος δικαιοσύνης ἐστὶν ὁ Θεός, καθὼς γέγραπται, πᾶσιν ἀνθρώποις ἐπιλάμπων τὰς ἀκτῖνας τῆς αὐτοῦ ἀγαθότητος.

53. (φ. 299α—305α) «Ὁμιλία ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου Κυριακῇ δεκάτῃ πέμπτῃ. Εὐλόγησον, πάτερ».

Ἀρχ. Πᾶσα μὲν ἀδικία καὶ ἁρπαγὴ καὶ πλεονεξία κακὴ καὶ κακῶν κακίστη.

54. (φ. 306α—310α). «Ὁμιλία ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ πρὸ τῆς ὑψώσεως. Εὐλόγησον, πάτερ».

Ἀρχ. Εἶπεν ὁ Κύριος οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανόν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς.

55. (φ. 310α—316β). «Ὁμιλία ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ τῶν Πατέρων πρὸ τῆς Χριστοῦ γεννήσεως. Εὐλόγησον, πάτερ».

Ἀρχ. Οἱ μὲν παλαιοὶ ἐκεῖνοι καὶ πρὸ τοῦ νόμου θεῖοι ἄνδρες οὐ διὰ γραμμάτων καὶ βιβλίων ἐδιδάσκοντο.

56. (φ. 317α—321α). «Ὁμιλία ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ μετὰ τὴν Χριστοῦ γέννησιν. Εὐλόγησον, πάτερ».

Ἀρχ. Ἀναχωρησάντων τῶν μάγων ἰδοὺ ἄγγελος Κυρίου φαίνεται κατ' ὄναρ τῷ Ἰωσὴφ λέγων.

57. (φ. 321β—324β). «Ὁμιλία ἐκ τοῦ κατὰ Μᾶρκον ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ πρὸ τῶν Φώτων. Εὐλόγησον, πάτερ».

Ἀρχ. Ἀρχὴ τοῦ Εὐαγγελίου Ἰησοῦ Χριστοῦ, υἱοῦ τοῦ Θεοῦ, ὡς γέγραπαι ἐν τοῖς προφήταις.

58. φ. 324β—329β). «Ὁμιλία ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου ἀναγινωσκομένη Κυριακῇ μετὰ τὰ Φῶτα. Εὐλόγησον, πάτερ».

Ἀρχ. Εἰ καὶ ἡ ἑορτὴ παρῆλθεν ἡμᾶς, ἀλλὰ τὸ περὶ ταύτης λέγειν οὐδέποτε παρελεύσεται.

Institutional Repository - Library & Information Centre - University of Thessaly
15/06/2024 16:37:25 EEST - 3.15.211.219

*Ὁμιλία τῇ Κυριακῇ τοῦ τελώνου καὶ φαρισαίου. Εὐλόγησον, πάτερ.*

Ἡ εἰς τὸν τελώνην καὶ τὸν φαρισαῖον παραβολὴ καὶ ὑπόθεσις, ὥσπερ γυμνασία τις καὶ παρακίνησις ἐπενοήθη τοῖς ἁγίοις Πατράσι καὶ ἐτάχθη ψάλλεσθαι καὶ ἀναγινώσκεσθαι ἐν τῇ παρούσῃ Κυριακῇ, ἵνα παρασκευαζώμεθα καὶ ἑτοιμαζώμεθα πρὸς τοὺς πνευματικοὺς ἀγῶνας τῶν νηστειῶν· διὰ τοῦτο γὰρ καὶ προφώνησιν τὴν ἑβδομάδα ταύτην κατονομάζομεν προμηνύοντες καὶ προκηρύττοντες τὸν μετ' ὀλίγον ἐρχόμενον τῆς μετανοίας καὶ τῆς νηστείας καιρόν, ὡσάν, εἴ τι ταῖς ψυχαῖς ἡμῶν ἔχομεν προκατειλημμένον καὶ προαποκείμενον πάθος, ἀποκαθάρωμεν τοῦτο καὶ οὕτω, ἕτοιμοι γεγονότες πρὸς τοὺς σωτηρίους τῆς ἐγκρατείας καὶ τῆς νηστείας ἀγῶνας, χωρήσωμεν. Πρὸς γὰρ τὴν ὁδὸν τῆς μετανοίας πρώτη ἐστίν ἡ μεταμέλεια καὶ ἡ ἐπιστροφὴ καὶ ἡ ταπείνωσις, πρὸς δὲ τὴν ἀρετὴν ἐμπόδιόν ἐστιν ἡ ὑπερηφάνεια καὶ ἡ κενοδοξία καὶ ἡ ἔπαρσις. Διὰ τοῦτο καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ἡ τοῦ Θεοῦ σοφία καὶ δύναμις, ὁ τὰς καρδίας πάντων ἐρευνῶν καὶ ἐτάζων καὶ τὰ λυσιτελῆ καὶ σωτήρια οἰκονομῶν ταῖς ψυχαῖς ταύτην τὴν κατὰ τὸν φαρισαῖον καὶ τὸν τελώνην παραβολὴν ἡμῖν ὑποτίθησι πανσόφως καὶ προσφυῶς ἐλέγχων τοὺς ἀνθρώπους τοὺς πεποιθότας ἑαυτοῖς ὅτι δίκαιοί εἰσι καὶ ἐξουθενοῦντας τοὺς ἁμαρτωλούς. Καταστέλλει γὰρ διὰ ταύτης τῆς ὑποθέσεως τῶν ὑψηλοφρόνων τὴν ἔπαρσιν καὶ διδάσκει ἡμᾶς τίνα τρόπον δεῖ ποιεῖσθαι τὰς πρὸς τὸν Θεὸν δεήσεις καὶ προσευχάς, ἵνα μή, δι' ὧν νομίζομεν ὠφελεῖσθαι, διὰ τούτων μᾶλλον παροτρύνωμεν καθ' ἡμῶν τὸν Θεὸν καὶ παροργίζωμεν τὸν ἀνεξίκακον καὶ μακρόθυμον, τὸν δοτῆρα πάντων τῶν ἀγαθῶν καὶ ἀπὸ ταύτης τῆς αἰτίας τὸ τῆς προσευχῆς καλὸν καὶ ἐπαινετὸν καὶ σωτήριον ἔργον ἀκερδὲς εὑρέθη τοῖς ἀνθρώποις καὶ ἄμισθον. Ἀλαζονείας γὰρ καὶ ὑπερηφανείας οὐδέν ἐστι βλαβερώτερον καὶ οὐδὲ ἐπάρσεως καὶ κενοδοξίας δεινότερον· τὸν γὰρ πρῶτον τῶν ἀγγέλων ἡ ὑπερηφάνεια οὐρανόθεν κατήγαγε καὶ ἀντὶ ἑωσφόρου διάβολον καλεῖσθαι πεποίηκε. Τὸν προπάτορα Ἀδὰμ ἡ ὑπερηφάνεια διὰ τῆς φιληδονίας ἐκ τοῦ Παραδείσου καὶ τῆς προτέρας δόξης ἐξώθησεν. Ἡ ὑπερηφάνεια πάντων ἐστὶ τῶν κακῶν ἡ αἰτία καὶ πάσης προκοπῆς πνευματικῆς ἐστιν ἐκκοπή. Ἐν παντὶ γὰρ τὸ οἴεσθαι τὸ εἶναι ἐμποδίζει καὶ εὐκόλως ἑαυτὸν ἀπατᾷ ὁ μηδὲν ὢν καὶ εἶναί τι λογιζόμενος, διὰ τοῦτο καὶ πολλοὺς τῶν ἀνθρώπων ἀπώλεσεν· οἱ γὰρ ταύτην νοσοῦντες ἄνθρωποι ἐγκαταλιμπάνονται ὑπὸ τοῦ Θεοῦ καὶ τῆς αὐτοῦ βοηθείας στεροῦνται καὶ εἰς τὰ τῆς ἀτιμίας πάθη ἐμπίπτουσι. Πάντα τὸν ἀγαθὸν πλοῦτον τῶν ἀρετῶν καὶ τῶν καλῶν ἔργων καὶ πράξεων ἡ ὑπερηφάνεια σκορπίζει καὶ διαφθείρει καὶ ἀφανίζει· οὐδὲ γὰρ μόνον πρὸς κακίαν συνωθεῖ, ἀλλὰ καὶ ἐν αὐταῖς ταῖς ἀρεταῖς παρυφισταμένη πολλὴν ἡμῖν προξενεῖ τὴν ζημίαν. Καὶ πόνους μὲν

Institutional Repository - Library & Information Centre - University of Thessaly
15/06/2024 16:37:25 EEST - 3.15.211.219

καὶ κόπους ὑπομένειν καταναγκάζει τοὺς ἀνθρώπους, μισθὸν δὲ οὐδόλως ἔχειν τούτους παρασκευάζει· εἴτε γὰρ νηστεύει ὁ ὑπερήφανος, εἴτε εὔχεται, εἴτε ἐλεεῖ, εἴτε σωφρονεῖ καὶ κατὰ παθῶν ἀγωνίζεται, εἴτε πάσας τὰς ἀρετάς, ἐργάζεται, μάτην κοπιᾷ καὶ καταγέλαστος γίνεται, ὅτι μισητός ἐστι παρὰ τῷ Θεῷ· ἀκάθαρτος γὰρ παρὰ Κυρίῳ φησὶ πᾶς ὑψηλοκάρδιος. Ὑπὸ τῆς κενοδοξίας οἰκίαι πολλαὶ καὶ δῆμοι καὶ πόλεις ὁλόκληροι ἀνετράπησαν καὶ πάντα τῇ κενοδοξίᾳ ἄνω καὶ κάτω γίνεται καὶ τὰ ἐκκλησιαστικὰ καὶ τὰ πολιτικὰ διαταράττεται καὶ συγχεῖται πράγματα. Καὶ αὐτοὶ δὲ οἱ τοῦ βίου τούτου ἔξω γενόμενοι καὶ τὴν μοναδικὴν καὶ ἀγγελικὴν πολιτείαν ποθήσαντες καὶ τὴν ἐρημικὴν διαγωγὴν διασπασάμενοι καὶ πάσης κοσμικῆς φαντασίας καταφρονήσαντες, πλούτου, εὐγενείας, δόξης, τρυφῆς καὶ τῶν λοιπῶν, ἔτι δὲ καὶ τῆς τῶν σωμάτων τυραννικωτάτης ἐπιθυμίας κρατήσαντες, πολλάκις τῷ πάθει τῆς ὑπερηφανείας κρατηθέντες πάντα ἀπώλεσαν καὶ ἐζημιώθησαν καὶ ὁμοίως τοῖς δεδουλωμένοις τοῖς πάθεσι καὶ ταῖς κοσμικαῖς τύρβαις ὑποκειμένοις τῆς θείας δόξης ἐξέπεσον· ὥσπερ γὰρ ὁ ἥλιος πᾶσιν ἀφθόνως ἐκλάμπει, οὕτως καὶ ἡ κενοδοξία πᾶσιν ἐπιτηδεύμασιν ἐπιφύεται. Οἷόν τι λέγω νηστεύων κενοδοξῶ καὶ λαμπρὰ περιβεβλημένος πάλιν κενοδοξῶ καὶ εὐτελῆ ἐξαλλάσσων πάλιν κενοδοξῶ, λέγων ἡττῶμαι, σιωπῶν πάλιν ἡττήθην, ὡς ἂν ῥίψῃς τὴν τρίβολον ταύτην, ὀρθὸν τὸ κέντρον ἵσταται. Ὅσον δὲ κακὸν ἡ κενοδοξία καὶ ἡ ἔπαρσις, τοσοῦτον ἀγαθόν ἐστιν ἡ μεταμέλεια καὶ ἡ ταπείνωσις καὶ ἅπερ ἡ ἀλαζονεία καὶ ἡ κενοδοξία σκορπίζει, συνάγει ἡ ταπείνωσις εὐκολώτατα. Καὶ ἡ μὲν ἀλαζονεία εἰς βόθρον κατάγει τὸν ἄνθρωπον, ἡ δὲ ταπείνωσις ἀνάγει αὐτὸν ἐκ τοῦ πτώματος· Κύριος γὰρ ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν. Ὅτι δὲ τοῦτο ἀληθές ἐστιν, αὐτὰ δηλώσει τὰ Εὐαγγελικὰ ῥήματα οὕτως ἔχοντα. Ἄνθρωποι δύο ἀνέβησαν εἰς τὸ ἱερὸν προσεύξασθαι, ὁ εἷς φαρισαῖος καὶ ὁ ἕτερος τελώνης. Εἰς παράδειγμα καὶ τύπον τῶν ἀνθρώπων, τῶν δικαιούντων ἑαυτοὺς καὶ ἐξουθενούντων τοὺς ἁμαρτάνοντας, ἔθηκε τὸν φαρισαῖον ὁ Κύριος, τὸν δὲ τελώνην ἔθηκεν εἰς παράδειγμα τῶν ἁμαρτανόντων ἀνθρώπων καὶ μετὰ συντετριμμένης καρδίας τὰς προσευχὰς καὶ ἐξομολογήσεις ποιούντων, ἵνα διδάξῃ πάντας τὴν μὲν ὑπερηφάνειαν μισεῖν, τὴν δὲ ταπείνωσιν ἀγαπᾶν. Καὶ δείκνυσι καθαρῶς ἀπὸ ταύτης τῆς παραβολῆς ὁ Χριστός, ὅτι ἡ μὲν δικαιοσύνη καὶ ἀρετὴ θαυμαστὴ καὶ μεγάλη ἐστὶ καὶ πλησίον τοῦ Θεοῦ τὸν ἄνθρωπον ἵστησιν, ὅταν δὲ τὴν ὑπερηφάνειαν προσλάβηται εἰς τὸν κατώτατον βυθὸν ἀπορρίπτει τὸν ἄνθρωπον· τοῦτο γὰρ πέπονθεν καὶ ὁ φαρισαῖος καὶ ἀπὸ ταύτης τῆς αἰτίας κατεκρίθη καὶ εἰς ἀπώλειαν πέπτωκεν. Ἡ δὲ ἀδικία καὶ ἡ ἁμαρτία βδελυκτή ἐστι καὶ μισητὴ καὶ πάσης κακίας βαρυτέρα καὶ μακρύνει τὸν ἄνθρωπον ἀπὸ τοῦ Θεοῦ.

Institutional Repository - Library & Information Centre - University of Thessaly
15/06/2024 16:37:25 EEST - 3.15.211.219

᾿Αλλὰ ἡ ταπείνωσις διὰ τῆς μετανοίας καὶ ἐξομολογήσεως δικαιοῖ τοῦτον καὶ σωτηρίας ἀξιοῖ καὶ πλησίον φέρει καὶ ἵστησι τοῦ Θεοῦ. Τοῦτο εὗρεν ὁ τελώνης καὶ ἀπὸ ταύτης τῆς αἰτίας ἐδικαιώθη καὶ σωτηρίας ἠξίωται. Ὁ φαρισαῖος σταθεὶς πρὸς ἑαυτὸν ταῦτα προσηύχετο Ὁ Θεὸς εὐχαριστῶ σοι ὅτι οὔκ εἰμι ὥσπερ οἱ λοιποὶ τῶν ἀνθρώπων ἅρπαγες, ἄδικοι, μοιχοὶ ἢ καὶ ὡς οὗτος ὁ τελώνης ᾿Αρχὴ τῆς ὑπερηφανείας ἡ ὕβρις φαίνεται· ὁ γὰρ διαπτύων τοὺς ἄλλους καὶ μηδὲν τούτους ἡγούμενος, ἀλλὰ τοὺς μὲν πτωχούς, τοὺς δὲ δυσγενεῖς, τοὺς δὲ ἀμαθεῖς καὶ ἰδιώτας ὑπολαμβάνων τοὺς δὲ ἀδίκους καὶ ἁμαρτωλοὺς ἐκ τῆς ὕβρεως ταύτης παρασύρεται καὶ μόνον ἑαυτὸν οἴεται συνετόν, δίκαιον καὶ πάντων ἀνθρώπων ὑπέρτερον. Καὶ ἔστιν ἡ ὕβρις ὑπερηφανείας ἀρχὴ καὶ ἡ ὑπερηφάνεια κακὸν τῆς ὕβρεως ἔκγονον. Διὰ τοῦτο ἡ διαβόητος ἡ ἡμέρα Κυρίου τὴν ἐκδίκησιν ποιήσει ἐπὶ πάντα ὑβριστὴν καὶ ὑπερήφανον· αἱ γὰρ συγγενεῖς ἁμαρτίαι ὁμοιοτρόπως κολάζονται. Ἔδειξεν ὁ φαρισαῖος καὶ τῷ σχήματι καὶ τῇ στάσει τὴν ἔπαρσιν, ἣν εἶχε καὶ τὴν ἀλαζονείαν. Καὶ οἱ μὲν λόγοι αὐτοῦ ἐξ ἀρχῆς ἀνθρώπου ἦσαν εὐγνώμονος· ἔλεγε γὰρ ὁ Θεὸς εὐχαριστῶ σοι, μετὰ ταῦτα ὅσα εἶπε πάσης ἀλαζανείας καὶ ὑπερηφανείας ἦσαν πεπληρωμένα. Οὐ γὰρ εἶπε σύ με ἐποίησας Κύριε καὶ διὰ τῆς βοηθείας τῆς σῆς ἐλευθεροῦμαι πάσης ἀδικίας καὶ ἁρπαγῆς καὶ τῶν ἄλλων κακῶν, ἀλλὰ πάντα τὰ κατορθώματα ἐξ οἰκείας δυνάμεως ἐλογίζετο κατορθῶσαι. Πᾶς δὲ ἄνθρωπος ἐχέτω πληροφορίαν ὅτι χωρὶς τῆς τοῦ Θεοῦ βοηθείας οὐ δύναται οὐδὲ ἰσχύει κατορθῶσαί τι ἀγαθόν· χωρὶς γὰρ ἐμοῦ φησιν ὁ Χριστὸς οὐ δύνασθε ποιεῖν οὐδὲν καὶ ὁ προφήτης, ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες, καὶ ὁ ἀπόστολος, οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ καὶ οὐκ ἐγὼ δέ, ἀλλ᾿ ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοὶ καὶ ὁ Θεός ἐστιν ὁ ἐνεργῶν ἐν ἡμῖν καὶ τὸ θέλειν καὶ ἐνεργεῖν. Εἰ γὰρ καὶ αὐτεξουσίῳ τετιμήμεθα τῆς προαιρέσεως, ἀλλ᾿ ὅμως ἐκτὸς τῆς ἄνωθεν συμμαχίας οὐδὲν τῶν ἀνδραγαθημάτων ἐν τῇ ὁδῷ τοῦ βίου ἐπιτελέσαι δυνάμεθα· οἶδα γάρ φησιν ὅτι οὐ τοῦ ἀνθρώπου ἡ ὁδὸς αὐτοῦ οὐδὲ πορεύσεται ἀνὴρ κατορθῶσαι πορείαν αὐτοῦ. Μὴ οὖν ἑαυτοῖς μόνοις λογιζώμεθα τῶν ἀγώνων τὰ τρόπαια· ἡμέτερον γὰρ τὸ προελέσθαι μόνον τὸ κρεῖττον καὶ σπουδάσαι, Θεοῦ δὲ τὸ εἰς ἔργον ἀγαγεῖν τὴν ἀγαθὴν ἐπιθυμίαν καὶ ἔφεσιν, τῷ δέ, μὴ φύσει τὸ δύνασθαι ἔχοντι, ἀλλ᾿ ἀπὸ τῆς χάριτος λαμβάνοντι λέγειν ὅτι δύναμαι τοῦτο κόμπος καὶ καύχησις· τί γὰρ ἔχεις, φησίν, ὃ οὐκ ἔλαβες; Εἰ δὲ καὶ ἔλαβες τί καυχᾶσαι ὡς μὴ λαβών; Νηστεύω δὶς τοῦ σαββάτου, ἀποδεκατῶ πάντα ὅσα κτῶμαι. ᾿Επειδὴ γὰρ κατηγόρησε τῶν λοιπῶν ἀνθρώπων καὶ τοῦ τελώνου ὁ φαρισαῖος ὅτι μοιχοί εἰσι καὶ ἅρπαγες, αὐτὸς πρὸς μὲν τὸ τῆς μοιχείας πάθος τὴν νηστείαν ἀνταλαζονεύσατο, ἐπειδὴ ἀπὸ τῆς τρυφῆς γίνεται ἡ λαγνεία· κόρος γὰρ πα-

Institutional Repository - Library & Information Centre - University of Thessaly
15/06/2024 16:37:25 EEST - 3.15.211.219

τὴρ ὕβρεως καὶ λαγνεία ἐν πλησμονῇ, ὁ Φαρισαῖος δὲ τὸ σῶμα διὰ νηστείας ἄγχων καὶ καὶ κατατήκων πολὺ ἀπέχειν ἀνεκαυχᾶτο τῶν τοιούτων παθῶν. Ἐνήστευον δ' ἄρα οἱ φαρισαῖοι δύο ἡμέρας τῆς ἑβδομάδος, Δευτέραν καὶ Πέμπτην. Πρὸς δὲ τὸ ἅρπαγες καὶ ἄδικοι ἔλεγεν ὁ φαρισαῖος· ἀποδεκατῶ πάντα ὅσα κτῶμαι. Τοσοῦτον γὰρ ἐνεκαυχᾶτο ἐναντιοῦσθαι τῇ ἁρπαγῇ καὶ τῇ ἀδικίᾳ ὥστε καὶ τὰ ἑαυτοῦ ἑτέροις ἐδίδου. Οἱ γὰρ ἑβραῖοι ἐδίδοσαν τῶν ὄντων ἁπάντων δεκάτην μίαν καὶ πάλιν ἑτέραν δεκάτην καὶ μετὰ ταύτην τρίτην. Καὶ αἱ τρεῖς συντιθέμεναι δεικνύουσιν ὅτι τὸ τρίτον τῆς οὐσίας αὐτῶν ἐδίδουν. Ἀλλὰ καὶ ἀπαρχὰς καὶ πρωτοτόκια καὶ ἕτερα πλείονα παρεῖχον, οἷον τὰ ὑπὲρ ἁμαρτημάτων, τὰ ὑπὲρ καθαρισμῶν, τὰ ἐν ταῖς ἑορταῖς καὶ ἐν τῷ ἰωβηλαίῳ, τὰ ἐν ταῖς τῶν χρεῶν ἀποκοπαῖς καὶ ταῖς τῶν δούλων ἀφέσεσι καὶ τοῖς δανείσμασι τοῖς ἀπηλλαγμένοις τόκων. Ταῦτα δὲ πάντα συντιθέμενα καὶ συναριθμούμενα τὸ ἥμισυ τῆς οὐσίας ἀποτελοῦσιν. Εἰ δὲ ὁ τὸ ἥμισυ τῆς οὐσίας διδοὺς ἄνθρωπος οὐδὲν μέγα ἐργάζεται ἐπαιρόμενος καὶ ἀλαζονευόμενος, ὁ μηδὲ τὸ δέκατον παρέχων τῆς οὐσίας, τίνος ἄξιος ἔσται κενοδοξῶν καὶ ὑπερηφανευόμενος καὶ τοῦτο τοῦ Εὐαγγελίου λέγοντος, ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων καὶ φαρισαίων οὐκ εἰσελεύσεσθε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν; Ὁ δὲ τελώνης μακρόθεν ἑστὼς οὐκ ἤθελεν οὐδὲ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν ἐπᾶραι, ἀλλ' ἔτυπτε τὸ στῆθος αὐτοῦ λέγων· ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. Λέγω ὑμῖν κατέβη οὗτος δεδικαιωμένος εἰς τὸν οἶκον αὐτοῦ ἢ γὰρ ἐκεῖνος, ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, ὁ δὲ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται.

Εὐχόμενος ὁ τελώνης καὶ ἔργα μὴ ἔχων ἀγαθὰ οὐδὲ ἀπαριθμῆσαι ταῦτα ἠδύνατο, ὡς ὁ φαρισαῖος, ἀλλ' ἔτυπτε τὸ στῆθος καὶ τὴν καρδίαν ἐμάστιζε καὶ μετὰ πολλῆς συντριβῆς καὶ κατανύξεως ἔλεγε· Κύριε ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. Διὰ τοῦτο καὶ ἵλεων εὑρίσκει τὸν ἐλεήμονα καὶ εὐδιάλλακτον Κύριον· πάντων γὰρ τῶν ἁμαρτημάτων καθαιρετική ἐστιν ἡ ταπεινοφροσύνη, ἡ δὲ ὑπερηφάνεια ἀφανίζει πάσας τὰς ἀρετὰς ὅτι πάσης ἁμαρτίας καὶ κακίας μείζων ἐστὶ καὶ βαρυτέρα· κρεῖσσον γὰρ ἁμαρτάνοντας ἐπιστρέφειν καὶ ταπεινοῦσθαι ἢ κατορθοῦντας ἐπαίρεσθαι. Ὁ τελώνης τὰ ἁμαρτήματα ἀπεδύσατο δεξάμενος τὴν τοῦ φαρισαίου κατηγορίαν μετὰ πραότητος καὶ ὑπομονῆς καὶ ὁ φαρισαῖος ἀπὸ δόξης εἰς τὸ τῆς ἀτιμίας κατέθεσε βάραθρον δικαιώσας ἑαυτὸν καὶ κατηγορήσας τοῦ τελώνου καὶ τῶν λοιπῶν ἀνθρώπων. Ὁ τελώνης ἀπὸ τῆς ἐπονειδίστου ζωῆς καὶ τῶν ἁμαρτιῶν εἰς τὴν μακαρίαν ἐπανῆλθε ζωὴν καὶ κατάστασιν, ὁ δὲ φαρισαῖος τῆς πρὸς Θεὸν ἐγγύτητος ἐχωρίσθη καὶ ἀπεμακρύνθη τοῦ ἀγαθοῦ. Ὁ τελώνης ὑψώθη ἐκ ταπεινώσεως καὶ ὁ φαρισαῖος ἐταπεινώθη ἐξ ὄγκου καὶ τῆς ἐπάρσεως. Δύο γὰρ ἀπαιτούμεθα πάντες ἄνθρωποι, τὸ καταγινώσκειν τῶν οἰκείων ἁμαρτημάτων καὶ τὸ τοῖς ἑτέροις ἀφιέναι τὰ ἁμαρτή-

Institutional Repository - Library & Information Centre - University of Thessaly
15/06/2024 16:37:25 EEST - 3.15.211.219

ματα· ὁ γὰρ τὰ αὐτοῦ βλέπων ἁμαρτήματα συγγνωμονικώτερος καὶ συμπαθέστερος γίνεται τοῖς ἑτέροις, ὁ δὲ κατακρίνων ἑτέρους ἑαυτὸν κατακρίνει καὶ καταδικάζει, εἰ καὶ πολλὰς κέκτηται ἀρετάς. Οὕτω μέγα ἐστὶ τὸ μὴ κατακρίνειν ἑτέρους, ἀλλ' ἑαυτούς, ἀδελφοί μου. Ἡμεῖς δὲ τὰ ἑαυτῶν ἀφέντες ἁμαρτήματα, ἑτέρους μᾶλλον κατακρίνομεν, ἄλλους ἐξετάζομεν οὐκ εἰδότες ὅτι κἂν πάντων ὦμεν δικαιότεροι, ἑτέρους δὲ κατακρίνωμεν ὑπεύθυνοι γινόμεθα καὶ τῆς αὐτῆς ἐσμεν ἄξιοι τιμωρίας καὶ κολάσεως, ἧς καὶ ὁ κατακρινόμενος ἄξιός ἐστιν· ᾧ γὰρ κρίματι κρίνετέ, φησι, τούτῳ καὶ κριθήσεσθε. Ὁ γὰρ πορνεύων ἐντολὴν παραβαίνει καὶ ὁ τὸν πορνεύοντα κρίνων ἐντολὴν παραβαίνει, ὥστε καὶ ἀμφότεροι θείαν ἐντολὴν παραβαίνουσι καὶ ὁ πορνεύων καὶ ὁ κρίνων. Ἀλλὰ μεταθώμεθα τὴν εἰς ἑτέρους ἐξέτασιν καὶ πολυπραγμοσύνην εἰς ἑαυτοὺς μᾶλλον, ἀγαπητοί, καὶ ἐὰν ἴδωμέν τινας ἁμαρτάνοντας ἡμεῖς τὰ ἑαυτῶν ἁμαρτήματα πρὸ ὀφθαλμῶν ἡμῶν μᾶλλον ἔχωμεν καὶ χείρονα τὰ ἡμέτερα λογιζώμεθα ἢ τὰ τῶν ἑτέρων. Οἱ γὰρ ἁμαρτήσαντες ἐν τῇ ὥρᾳ ἴσως τῆς ἁμαρτίας μετενόησαν, ἡμεῖς δὲ πάντοτε μένομεν ἀδιόρθωτοι κατακρίνοντες καὶ τὰ ἑτέρων ἐξετάζοντες. Ὁ Λὼτ ἐκεῖνος ἐν Σοδόμοις οἰκῶν οὐδένα κατέκρινεν, οὐδενὸς κατηγόρησε, διὰ τοῦτο δεδικαίωται καὶ ἀπὸ τοῦ πυρὸς διεσώθη καὶ τῆς πανωλεθρίας, ἧς οἱ Σοδομῖται κατεδικάσθησαν. Ταπεινωθέντες οὖν καὶ ἡμεῖς ἑαυτοὺς κατακρίνωμεν, ἑαυτοὺς καταισχύνωμεν, ἵνα ἀκατάκριτοι καὶ ὑψηλοὶ γενώμεθα. Ἀγαπήσωμεν τὴν ταπεινοφροσύνην· διὰ γὰρ ταύτης ὁ τελώνης ἐδικαιώθη καὶ τὸ φορτίον τῶν ἁμαρτημάτων ἀπέθετο. Μισήσωμεν τὴν ἔπαρσιν ὅτι ὁ φαρισαῖος διὰ ταύτης κατεβλήθη καὶ τὰς ἀρετάς, ἃς εἶχεν, ἀπώλεσεν. Ὁ φαρισαῖος ὡς μὴ καλῶς τὸ καλὸν διαπραξάμενος κατακέκριται καὶ ὁ τελώνης εἰ καλῶς τὰ μὴ καλὰ τῶν ἔργων ἀποσεισάμενος δεδικαίωται· ἐπέβλεψε γὰρ ὁ Θεὸς ἐπὶ τὸν στεναγμὸν τοῦ τελώνου καὶ τὴν αὐτοῦ συντριβὴν καὶ τὰς κατὰ τοῦ στήθους τύψεις καὶ προσδεξάμενος τὸ ἱλάσθητι μετὰ τοῦ Ἄβελ αὐτὸν ἐδικαίωσε, τὰς δὲ θυσίας καὶ τὰς ἀρετὰς καὶ τὰ κατορθώματα τοῦ φαρισαίου ὡς μεγαλαύχου καὶ ὑπερηφάνου ἐβδελύξατο καὶ ἀπώσατο καὶ ὡς τὸν ἀδελφοκτόνον Κάϊν κατεδίκασεν αὐτόν. Ἀπὸ ταύτης τῆς αἰτίας μάθωμεν, ἀδελφοί μου, καὶ διδαχθῶμεν καὶ μεγάλα ἐὰν ἐργαζώμεθα κατορθώματα τούτων ἕνεκεν μὴ ἐπαιρώμεθα καὶ ἐὰν ἀγαθοὶ γενώμεθα, δίκαιοι καὶ ἐπιεικεῖς καὶ συμπαθεῖς καὶ ἐλεήμονες, ἀλλὰ καὶ οὕτως ταπεινώμεθα καὶ μὴ ὑπεροψίαν καὶ ἀλαζονείαν ἔχωμεν, μήποτε τοὺς καμάτους ἡμῶν καὶ τοὺς πόνους ἀπολέσωμεν· ὅταν γὰρ ταῦτα πάντα ποιήσητε, φησὶν Κύριος, λέγετε ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν καί, ὃ ὀφείλομεν ποιῆσαι, πεποιήκαμεν. Ἀναγκαῖον γὰρ καὶ καὶ ἀπαραίτητον χρέος ἐστὶ προσφέρειν ἡμᾶς τῷ ἐπὶ πάντων Θεῷ τὴν δουλείαν, τὴν ταπείνωσιν, τὴν ὑπομονήν, τὴν ὑποταγήν, τὴν εὐπείθειαν, τὴν εὐγνωμοσύνην, τὴν εὐχαριστίαν καὶ δοξάζειν καὶ μεγαλύνειν καὶ

Institutional Repository - Library & Information Centre - University of Thessaly
15/06/2024 16:37:25 EEST - 3.15.211.219

προσκυνεῖν τὸ θέλημα αὐτοῦ τὸ πανάγιον καὶ μὴ δάκνεσθαι ταῖς παρ' ἑτέρων λοιδορίαις καὶ ὕβρεσι καὶ λυπεῖσθαι τοῖς ἀδικήμασι καὶ τοῖς πειρασμοῖς καὶ δυσχεραίνειν ὀνειδιζομένοις ὅτι καὶ ἀπὸ τούτου πολλὴν καρπούμεθα τὴν ὠφέλειαν. Μάθωμεν καὶ γνῶμεν, ἀδελφοί μου, τὴν τῆς ταπεινώσεως δύναμιν καὶ ἰσχὺν καὶ βοήθειαν. Μάθωμεν τῆς ἐπάρσεως τὴν καταδίκην καὶ τὴν ζημίαν καὶ ἀπώλειαν καὶ ἐπειδὴ μέγα ἀγαθόν ἐστιν ἡ μετάνοια καὶ ἡ ἐξαγόρευσις καὶ ἡ συντριβὴ καὶ τὰ δάκρυα καὶ οἱ ἐκ βάθους στεναγμοὶ καὶ ἡ κατάνυξις, διὰ τοῦτο παρακαλῶ ἐξομολογεῖσθε τῷ Θεῷ συνεχῶς καὶ τὰ ἁμαρτήματα αὐτῷ ἐκκαλύπτετε. Εἰ γὰρ ἀναπτύσσομεν τὸ συνειδὸς ἡμῶν ἔμπροσθεν τοῦ Θεοῦ καὶ δεικνύομεν αὐτῷ τὰ τραύματα τῶν ψυχῶν ἡμῶν καὶ ἑτέρους οὐ κρίνομεν, οὐδὲ ἐκθηριούμεθα πρὸς τὰς τῶν πλησίων ὕβρεις οὐδὲ λυπούμεθα διὰ τοὺς ὀνειδισμοὺς καὶ τὰς λοιδορίας καὶ τοὺς πειρασμοὺς καὶ τὰς ἀδικίας αὐτῶν ἵλεως ἡμῖν γενήσεται ὁ φιλάνθρωπος Κύριος καὶ τὰ τῆς συμπαθείας αὐτοῦ καὶ τῆς εὐσπλαγχνίας κεράσει φάρμακα καὶ ἐπιθέσει καὶ ἰατρεύσει ἡμᾶς Δείξωμεν τὰ ἁμαρτήματα τῷ μὴ ὀνειδίζοντι δεσπότῃ, ἀλλὰ θεραπεύοντι. Κἂν σιγήσωμεν ἡμεῖς, ἐκεῖνος ἅπαντα γινώσκει. Εἴπωμεν τοίνυν τὰ σφάλματα ἡμῶν, ἀδελφοί μου, καὶ ἐξομολογησώμεθα καθαρῶς τῷ Κυρίῳ, ἵνα κερδάνωμεν τὴν τούτου συμπάθειαν. Ἀποθώμεθα ἐνταῦθα τὰ ἁμαρτήματα, ἵνα καθαροὶ γεγονότες καὶ ἕτοιμοι ἀπέλθωμεν ἐκεῖσε καὶ δεχθῶμεν παρὰ τοῦ δικαίου κριτοῦ εἰς τὴν βασιλείαν τὴν ἀτελεύτητον καὶ ἀΐδιον καὶ κληρονομήσωμεν τὰς μελλούσας ἐκείνας καὶ ἀκηράτους μονὰς καὶ τὴν ἀδάπανον τρυφὴν καὶ ἀπόλαυσιν, ὧν καὶ τύχοιμεν πάντες ἐν αὐτῷ Χριστῷ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Κ. ΔΥΟΒΟΥΝΙΩΤΗΣ

Institutional Repository - Library & Information Centre - University of Thessaly
15/06/2024 16:37:25 EEST - 3.15.211.219